» τὴν κατὰ φύσιν ζητείσθω. τὸ δὲ ὑπὲρ φύσιν, σιγῇ τιμάσθω. οὐχ
» ὡς φευκτά, ἀλλ' ὡς ἀπόρρητα καὶ σιωπῇ τιμᾶσθαι ἄξια:

Τῷ δὲ, ἐν τῷ περὶ τῆς αὐτῆς ὑποθέσεως λόγῳ, ταυτάτε κάνω
φαμένῳ, κάλλιστά τε καὶ ὑψηλότατα:. τοῦ μεγάλου βασιλείου: *Subducta rubra erant.*

» Χριστοῦ γέννησις. ἡ μὲν οἰκεία καὶ πρώτη καὶ ἰδία αὐτοῦ τῆς θεό-
» τητος, σιωπῇ τιμάσθω. μᾶλλον δὲ ταῖς ἐννοίαις ἡμῶν μὴ
» ζητεῖν ἐκεῖνα, μηδὲ πολυπραγμονεῖν ἐπιτάξωμεν. ὅπου
» γὰρ οὐ χρόνος, οὐκ αἰὼν ἐμεσίτευσεν, οὐ τρόπος ἐπινενόηται,
» οὐ θεατὴς παρῆν, οὐχ ὁ διηγούμενός ἐστι, πῶς φαντασθῇ ὁ νοῦς.
» πῶς δὲ ὑπηρετήσει τῇ διανοίᾳ ἡ γλῶσσα. ἀλλὰ πατὴρ ἦν καὶ
» υἱὸς ἐγεννήθη. μὴ εἴπῃς πότε. ἀλλὰ παράδραμε τὸ ἐρώ-
» τημα. μὴ ἐπιζητήσῃς πῶς. ἀδύνατος γὰρ ἡ ἀπόκρισις.
» τὸ μὲν γὰρ πότε, χρονικόν. τὸ δὲ πῶς, ὄλισθον ἐμποιεῖ οἱ πρὸς
» τοὺς σωματικοὺς τῆς γεννήσεως τρόπους:.

Τῷ δὲ, ἐν τῷ περὶ υἱοῦ πρώτῳ λόγῳ, ἐκεινωσί γε δὴ θεολογι-
κώτατα λέγοντι:– Γρηγορίου τοῦ θεολόγου:. *Subducta rubra erant.*

» Θεοῦ γέννησις, σιωπῇ τιμάσθω. μέγα σοι τὸ μαθεῖν ὅτι γε-
» γέννηται. τὸ δὲ πῶς, οὐδὲ ἀγγέλοις ἐννοεῖν, μὴ ὅτι γε σοὶ
» νοεῖν συγχωρήσομεν. βούλει παραστήσω τὸ πῶς; ὡς οἶδεν
» ὁ γεννήσας πατήρ, καὶ ὁ γεννηθεὶς υἱός. τὸ δὲ ὑπὲρ ταῦτα, νέ-
» φει κρύπτεται, τὴν σὴν διαφεῦγον ἀμβλυωπίαν:.

Καὶ αὖ δὴ πάλιν αὐτῷ γε τούτῳ τῷ θειοτάτῳ ἀνδρί, ἐν τῷ περὶ
τοῦ ἁγίου πνεύματος λόγῳ:. τοῦ αὐτοῦ *Rubra.*

» Εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ πατρός, κἀγὼ τὴν γέννησιν τοῦ
» υἱοῦ φυσιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος. καὶ παρα-
» πληκτίσωμεν ἄμφω, εἰς θεοῦ μυστήρια παρακύπτοντες.
» καὶ ταῦτα τίνες, οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι.
» μηδὲ ψάμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας
» αἰῶνος ἐξαριθμεῖσθαι. μή τί γε θεοῦ βάθεσιν ἐμβατεύειν,
» καὶ λόγον ὑπέχειν τῆς οὕτως ἀρρήτου καὶ ὑπὲρ λόγον φύ-
31. σεως:.